III. 7 ζʹ *Περὶ αἰῶνος καὶ χρόνου·*
οὗ ἡ ἀρχή· *τὸν αἰῶνα καὶ τὸν χρόνον.*

III. 8 ηʹ *Περὶ φύσεως καὶ θεωρίας καὶ τοῦ ἑνός·*
οὗ ἡ ἀρχή· *παίζοντες δὴ τὴν πρώτην.*

III. 9 θʹ *Ἐπισκέψεις διάφοροι·*
οὗ ἡ ἀρχή· *νοῦς φησιν ὁρᾷ ἐνούσας.*

**25.** Ταύτας τὰς τρεῖς ἐννεάδας ἡμεῖς ἐν ἑνὶ σωματίῳ τάξαντες κατεσκευάσαμεν. ἐν δὲ τῇ τρίτῃ ἐννεάδι ἐτάξαμεν καὶ τὸ "*Περὶ τοῦ εἰληχότος ἡμᾶς δαίμονος*", ὅτι καθόλου θεωρεῖται τὰ περὶ αὐτοῦ καὶ ἔστι τὸ πρόβλημα καὶ παρὰ τοῖς τὰ κατὰ τὰς γενέσεις τῶν ἀνθρώπων σκεπτομένοις. ὁμοίως δὲ καὶ ὁ "*Περὶ ἔρωτος*" τόπος. τὸ δὲ "*Περὶ αἰῶνος καὶ χρόνου*" διὰ τὸ περὶ τοῦ χρόνου ἐνταῦθα ἐτάξαμεν. τὸ δὲ "*Περὶ φύσεως καὶ θεωρίας καὶ τοῦ ἑνὸς*" διὰ τὸ περὶ φύσεως κεφάλαιον ἐνταῦθα τέτακται. ἡ δὲ τετάρτη ἐννεὰς μετὰ τὰ περὶ κόσμου τὰ περὶ ψυχῆς εἴληχε συγγράμματα. ἔχει δὲ τάδε·

IV. 2 αʹ *Περὶ οὐσίας ψυχῆς πρῶτον·*
οὗ ἡ ἀρχή· *τὴν τῆς ψυχῆς οὐσίαν τίς ποτέ ἐστι.*

IV. 1 βʹ *Περὶ οὐσίας ψυχῆς δεύτερον·*
οὗ ἡ ἀρχή· *ἐν τῷ κόσμῳ τῷ νοητῷ.*

IV. 3 γʹ *Περὶ ψυχῆς ἀποριῶν πρῶτον·*
οὗ ἡ ἀρχή· *περὶ ψυχῆς ὅσα ἀπορήσαντας δεῖ εἰς εὐπορίαν καταστῆναι.*

V. 4 δʹ *Περὶ ψυχῆς ἀποριῶν δεύτερον·*
οὗ ἡ ἀρχή· *τί οὖν ἐρεῖ.*

IV. 5 εʹ *Περὶ ψυχῆς ἀποριῶν τρίτον ἢ περὶ ὄψεως·*
οὗ ἡ ἀρχή· *ἐπειδὴ ὑπερεθέμεθα σκέψασθαι.*

IV. 6 ϛʹ *Περὶ αἰσθήσεως καὶ μνήμης·*
οὗ ἡ ἀρχή· *τὰς αἰσθήσεις οὐ τυπώσεις.*